eul_wid: jxs-aa

*Διότιμος ὁ Ἀδραμυττηνός* · Diotimus of Adramyttium

## Epigrams

*Ἐπιγράμματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἐπική* Epic (Homeric) (frg)
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 267.1.1 Φωσφόρος, ὦ σώτειρ’, ἐπὶ Πόλλιδος ἕσταθι κλήρων,
book 267.1.2 Ἄρτεμι, καὶ χαρίεν φῶς ἑὸν ἀνδρὶ δίδου,
book 267.1.3 αὐτῷ καὶ γενεῇ, τό περ εὐμαρές· οὐ γὰρ ἀφαυρῶς
book 267.1.4 ἐκ Διὸς ἰθείης οἶδε τάλαντα δίκης.
book 267.5.1 ἄλσος δ’, Ἄρτεμι, τοῦτο καὶ ἂν Χαρίτεσσι θεούσαις
book 267.5.2 εἴη ἐπ’ ἀνθεμίδων σάμβαλα κοῦφα βαλεῖν.
book 358.1.1 Χαῖρέ μοι, ἁβρὲ κύπασσι, τὸν Ὀμφάλη ἥ ποτε Λυδὴ
book 358.1.2 λυσαμένη φιλότητ’ ἦλθεν ἐς Ἡρακλέους·
book 358.1.3 ὄλβιος ἦσθα, κύπασσι, καὶ ὡς τότε καὶ πάλιν ὡς νῦν
book 358 χρύσεον Ἀρτέμιδος τοῦτ’ ἐπέβης μέλαθρον.
book 173.1.1 Αὐτόμαται δείλῃ ποτὶ ταὐλίον αἱ βόες ἦλθον
book 173.1.2 ἐξ ὄρεος πολλῇ νιφόμεναι χιόνι,
book 173.1.3 αἰαῖ, Θηρίμαχος δὲ παρὰ δρυῒ τὸν μακρὸν εὕδει
book 173 ὕπνον, ἐκοιμήθη δ’ ἐκ πυρὸς οὐρανίου.
book 227.1.1 Οὐδὲ λέων ὣς δεινὸς ἐν οὔρεσιν ὡς ὁ Μίκωνος
book 227.1.2 υἱὸς Κριναγόρης ἐν σακέων πατάγῳ.
book 227.1.3 εἰ δὲ κάλυμμ’ ὀλίγον, μὴ μέμφεο· μικρὸς ὁ χῶρος,
book 227 ἀλλ’ ἄνδρας πολέμου τλήμονας οἶδε φέρειν.
book 475.1.1 Νυμφίον Εὐαγόρην πολὺ πενθεροῦ ἡ Πολυαίνου
book 475.1.2 Σκυλλὶς ἀν’ εὐρείας ἦλθε βοῶσα πύλας,
book 475.1.3 παῖδα τὸν Ἡγεμάχειον ἐφέστιον. οὐδ’ ἄρ’ ἐκείνη
book 475.1.4 χήρη πατρῴους αὖθις ἐσῆλθε δόμους,
book 475.5.1 δαιμονίη, τριτάτῳ δὲ κατέφθιτο μηνὶ δυσαίων
book 475.5.2 οὐλομένῃ ψυχῆς δύσφρονι τηκεδόνι.
book 475.5.3 τοῦτο δ’ ἐπ’ ἀμφοτέροισι πολύκλαυτον φιλότητος

book 475.5.4 ἕστηκεν λείῃ μνῆμα παρὰ τριόδῳ.
book 733.1.1 Αἱ νόμιμοι δύο γρῆες ὁμήλικες ἦμεν, Ἀναξὼ
book 733.1.2 καὶ Κληνώ, δίδυμοι παῖδες Ἐπικράτεος,
book 733.1.3 Κληνὼ μὲν Χαρίτων ἱερή, Δήμητρι δ’ Ἀναξὼ
book 733.1.4 ἐν ζωῇ προπολεῦς’· ἐννέα δ’ ἠελίων
book 733.5.1 ὀγδωκονταέτεις ἐπιλείπομεν ἐς τόδ’ ἱκέσθαι
book 733.5.2 τῆς μοίρης· ἐτέων δ’ οὐ φθόνος, οἷς ὁσίη.
book 733.5.3 καὶ πόσιας καὶ τέκνα φιλήσαμεν· αἱ δὲ παλαιαὶ
book 733.5.4 πρῶθ’ ἡμεῖς Ἀίδην πρηΰν ἀνυσσάμεθα.
book 36.1.1 Νῦν αἰτεῖς, ὅτε λεπτὸς ὑπὸ κροτάφοισιν ἴουλος
book 36.1.2 ἕρπει καὶ μηροῖς ὀξὺς ἔπεστι χνόος·
book 36.1.3 εἶτα λέγεις· „Ἥδιον ἐμοὶ τόδε.“ καὶ τίς ἂν εἴποι
book 36 κρείσσονας αὐχμηρὰς ἀσταχύων καλάμας;
book 158.1.1 Ὡς πρέπει, Ἄρτεμίς εἰμ’· εὖ δ’ Ἄρτεμιν αὐτὸς ὁ χαλκὸς
book 158.1.2 μανύει Ζηνὸς κοὐχ ἑτέρου θύγατρα.
book 158.1.3 τεκμαίρου τὸ θράσος τᾶς παρθένου. ἦ ῥά κεν εἴποις·
book 158 πᾶσα χθὼν ὀλίγον τᾷδε κυναγέσιον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org